Οὗτος ὁ Ψαλμὸς ἰδιόγραφος τοῦ Δαβὶδ ἐστι, καὶ ἔξωθεν τοῦ ἀριθμοῦ τῶν ἑκατὸν πεντήκοντα Ψαλμῶν, ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.

Μικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου, ἐποίμαινον τὰ πρόβατα τοῦ πατρός μου. Αἱ χεῖρές μου ἐποίησαν ὄργανον, καὶ οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Καὶ τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; Αὐτὸς Κύριος, αὐτὸς εἰσακούσει. Αὐτὸς ἐξαπέστειλε τὸν Ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου, καὶ ἔχρισέ με τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ. Οἱ ἀδελφοί μου καλοί, καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ Κύριος. Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, καὶ ἐπικατηράσατό με ἐν τοῖς εἰδώλοις αὐτοῦ. Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μάχαιραν, ἀπεκεφάλισα αὐτόν, καὶ ἦρα ὄνειδος ἐξ Υἱῶν Ἰσραήλ.

## ΩΔΗ ΠΡΩΤΗ.

Μωϋσέως ἐν τῇ Ἐξόδῳ. Κεφάλ. ιε'. 1.
Ἄρδην βυθίσας Φαραὼ Μωσῆς λέγει.

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. Ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν, Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν. Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ. ἅρματα Φαραώ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν. Ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. Πόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. Ἡ δεξιά σου Κύριε δεδόξασται ἐν ἰσχύϊ,

ἡ δε-